Permalink: http://gams.uni-graz.at/o:ethnos.173

# Hdt. 4,145-148

| | |
|---|---|
| Title | The Histories |
| Author | Herodotus |
| Date | 5th Cen.B.C. |
| Original text | Τῶν ἐκ τῆς Ἀργοῦς ἐπιβατέων παίδων παῖδες ἐξελασθέντες ὑπὸ Πελασγῶν τῶν ἐκ Βραυρῶνος ληισαμένων τὰς Ἀθηναίων γυναῖκας, ὑπὸ τούτων δὴ ἐξελασθέντες ἐκ Λήμνου οἴχοντο πλέοντες ἐς Λακεδαίμονα, […] οἱ δὲ τῷ ἀγγέλῳ εἰρωτῶντι ἔλεγον ὡς εἴησαν μὲν Μινύαι, παῖδες δὲ εἶεν τῶν ἐν τῇ Ἀργοῖ πλεόντων ἡρώων · προσσχόντας γὰρ τούτους ἐς Λῆμνον φυτεῦσαι σφέας. […] Οἱ δὲ ἔφασαν ὑπὸ Πελασγῶν ἐκβληθέντες ἥκειν ἐς τοὺς πατέρας · δικαιότατον γὰρ εἶναι οὕτω τοῦτο γίνεσθαι · […] Τὸν δὲ αὐτὸν τοῦτον χρόνον Θήρας […] ἔστελλε ἐς ἀποικίην ἐκ Λακεδαίμονος. […]Ἦσαν δὲ ἐν τῇ νῦν Θήρῃ καλεομένῃ νήσῳ, πρότερον δὲ Καλλίστῃ τῇ αὐτῇ ταύτῃ, ἀπόγονοι Μεμβλιάρου τοῦ Ποικίλεω ἀνδρὸς Φοίνικος. […] Ἐπὶ τούτους δὴ ὦν ὁ Θήρας λεὼν ἔχων ἀπὸ τῶν φυλέων ἔστελλε, συνοικήσων τούτοισι καὶ οὐδαμῶς ἐξελῶν αὐτοὺς ἀλλὰ κάρτα οἰκηιούμενος. Ἐπείτε δὲ καὶ οἱ Μινύαι ἐκδράντες ἐκ τῆς ἑρκτῆς ἵζοντο ἐς τὸ Τηΰγετον, τῶν Λακεδαιμονίων βουλευομένων σφέας ἀπολλύναι, παραιτέεται ὁ Θήρας ὅκως μήτε φόνος γένηται, αὐτός τε ὑπεδέκετό σφεας ἐξάξειν ἐκ τῆς χώρης. Συγχωρησάντων δὲ τῇ γνώμῃ τῶν Λακεδαιμονίων, […]. |
| Source | Ph.-E. Legrand, Hérodote. Histoires, Buch IV. |
| Source of translation | J. Feix, Herodot: Historien, Bd. 1, Buch I-V. |
| Descriptor | settlement history |
| Coverage | Peloponnese |
| Ethnic Groups | Minyans, Pelasgians |
| Editor | Anna Trattner-Handy |
| Publisher | Klaus Tausend, Institut für Alte Geschichte und Altertumskunde, Universität Graz |